Ῥωμαίους ἐκβαλεῖν, καὶ δοῦναι αὐτοῖς ὅπλα, καὶ οὕτω κινῆσαι κατὰ Χοσρόου. Ὁ δὲ Σιρόης, ὑπακούσας τῷ βασιλεῖ καὶ ἐκβαλὼν τοὺς κατακλείστους, ἐπῆλθεν τῷ πατροκτόνῳ πατρὶ Χοσρόῃ. Αὐτὸς δὲ φυγεῖν δοκιμάσας καὶ μὴ ἰσχύσας ἐκρατήθη. Τοῦτον δὲ δεσμήσαντες σφοδρῶς σιδηροπέδαις ὀπισθάγκωνα, τοῖς τε ποσὶ καὶ τῷ τραχήλῳ βάρη σιδηρᾶ περιέθηκαν, καὶ εἰσάγουσιν αὐτὸν εἰς τὸν οἶκον τοῦ σκότους, ὃν αὐτὸς ὠχύρωσεν ἐκ νέας κτίσας εἰς ἀπόθεσιν χρημάτων· καὶ ἄρτον πενιχρὸν τούτῳ διδόντες καὶ ὕδωρ ἐλιμαγχόνουν. Ἔφη γὰρ ὁ Σιρόης, ὅτι τὸν χρυσὸν φάγῃ, ὃν συνήγαγεν μάτην, δι' ὃν καὶ πολλοὺς ἐλιμαγχόνησεν καὶ τὸν κόσμον ἠρήμωσεν. Ἀπέστειλε δὲ πρὸς αὐτὸν τοὺς σατράπας ὑβρίζειν καὶ ἐμπτύειν αὐτῷ. Καὶ ἀγαγὼν Μερδασᾶν τὸν υἱὸν αὐτοῦ, ὃν ἐβούλετο στέψαι, ἐνώπιον αὐτοῦ ἔσφαξεν, καὶ πάντα τὰ λοιπὰ τέκνα αὐτοῦ ἐνώπιον αὐτοῦ ἀνεῖλεν· καὶ ἀπέστειλεν πάντα ἐχθρὸν αὐτοῦ ὑβρίζειν καὶ τύπτειν καὶ ἐμπτύειν αὐτῷ. Πέντε δὲ ἡμέρας τοῦτο ποιήσας ἐκέλευσεν ὁ Σιρόης τοῦτον τόξοις ἀνελεῖν· καὶ οὕτως κατὰ μικρὸν δεινοῖς παρέδωκε τὴν πονηρὰν αὐτοῦ ψυχήν. Τότε ὁ Σιρόης γράφει πρὸς Ἡράκλειον, εὐαγγελιζόμενος αὐτῷ τὴν τοῦ μιαροῦ Χοσρόου ἀναίρεσιν· καὶ εἰρήνην ἀειπαγῆ πρὸς αὐτὸν ποιησάμενος πάντας τοὺς ἐν φρουραῖς Χριστιανοὺς καὶ τοὺς ἐν Περσίδι πάσῃ αἰχμαλώτους ἀπέδωκεν αὐτῷ σὺν τῷ πατριάρχῃ Ἱεροσολύμων Ζαχαρίᾳ καὶ τοῖς τιμίοις καὶ ζωοποιοῖς ξύλοις, τοῖς

1) ἐκβαλεῖν A.; ἐκβάλοι vulg.; ἐκβάλαι M.

1) καὶ οὕτω κινῆσαι vulg. Cedr.; οὕτως ἀποκινῆσαι A. M.

3) πατροκτ. om. H. Misc.

4) φυγεῖν A. Anast. H. Misc. *(fugere)*; φυγὴν M. cum vulg. De δοκιμ. sequ. infinitivo v. H. Steph. ed. Has. T. II, pag. 1613.

5) καὶ ὀπισθάγκωνα vulg.; vulg. cum M. om. καὶ. De ὀπισθ. (*manibus in tergum colligatis*) v. H. Steph. T. V, p. 2083, D.; ubi praeter nostrum locum adde p. 178, 10 ed. Bonn.

7) ὠχύρωσεν A. M.; ὀχυρώσας vulg. — ἐκ νέας M. vulg. Anast. H. Misc. *(quam ipse munivit, construens de novitate)*; ἐκ νέου A. De v. ἐκ νέας v. H. Steph. ed. Hase T. V, p. 1437. St. Martino (ad Lebeau, Hist. du bas empire, T. XI, p. 149, not. 3) ἐκ νέας idem est quod *„dans sa jeunesse."*

8) ἐλιμαγχάνουν M.

9) φαγῇ M. ὃν συν. A.; ὃ συν. vulg.

10) δι' ὃν A. M.; δι' ὃ vulg. — καὶ ante πολλ. add. ex Anast. H. Misc. *(et propter quod etiam multos cett.)*. — ἐλημαγχόνησεν M.

11) τοὺς ante σατράπας om. M.

12) αὐτῷ A.; αὐτὸν M. cum vulg. De v. ἐμπτύω cum dat. objecti v. H. Steph. ed. cit. T. III. p. 919. — Μερδάσαν M.

14) ἀνεῖλεν vulg.; ἀνεῖλον M. Anast. H. Misc. *(interemerunt)*.